UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Apanta Ta Ellēnisti Heuriskomena

Cui idem præfixit Origeniana, Tripartitum opus, quo Origenis narratur vita, doctrina excutitur, scripta recensentur

Origenes

Rothomagi, 1668

Ex Origenis Commentariis In Ezechiel. Απο Των Ωριγενους Εις Τον Ιεζεχιηλ.

urn:nbn:de:hbz:466:1-25059

Visual Library

EX ORIGENIS COMMENTARIIS IN EZECHIEL.

E XX. Tomo Commentariorum in Ezechiel.

ΑΠΟ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΟΝ ΙΕΖΕΧΙΗΛ.

Ἐκ τοῦ κ' τόμου τῶν εἰς τὸν Ἰεζεκιήλ·

Eodem interprete.

Ezech. 34. 17, & ſeq. *HÆc dicit Dominus Dominus: Ecce ego dijudico inter pecus & pecus, arietes & hircos. An non ſatis vobis quòd pulcrum paſcuum depaſcebamini? Et reliquias pabuli proculcatis pedibus veſtris, & puriſſimam aquam bibebatis, & reliquam pedibus veſtris conturbaſtis: & oves meæ, quæ proculcata erant pedibus veſtris, depaſcebantur, & aquam pedibus veſtris turbatam bibebant.*

A ΤΑ'δε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ * διακρίνω ἀναμέσον προβάτου καὶ προβάτου, κριῶν καὶ τράγων. καὶ οὐχ ἱκανὸν ὑμῖν ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε; καὶ τὰ κατάλοιπα τῆς νομῆς * καταπατεῖτε τοῖς ποσὶν ὑμῶν. καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε. καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε. καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο. καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον·

* Χ. ἀνὰ μέσον
* Χ. κατεπατεῖτε

Poſtquam propoſuit Origenes de pecudibus & arietibus & pecudibus caprarum, quia conſuevit Scriptura pecudis interdum vocem in genere caprarum vſurpare, addit.

B Μετὰ τὸ παραθήσασθαι περὶ τῶν προβάτων καὶ κριῶν, καὶ περὶ προβάτων αἰγῶν, ὅτι συνήθες τῇ γραφῇ τὸ πρόβατον, καὶ ἐπὶ τοῦ γένους τῶν αἰγῶν ἔσθ᾽ ὅτε τάσσειν, ἐπιφέρει·

Quid igitur in his ſignificetur, age pro viribus diſceptemus. Omne, arbitror, bonum paſcuum & omnis aqua appoſita, vniverſa ſunt ſanctarum Scripturarum oracula: deinde quia nonnulli quædam è ſcriptis ſecernunt, vt vtilia; quædam reijciunt, vt non ſalutaria, ij ſunt qui poſtquam depaſti ſunt amœnum eorum quæ ſelegerant paſcuum, & biberunt aquam appoſitam, quam optimam eſſe arbitrati ſunt, reliquias paſtionis proculcant, & reliquam aquam pedibus ſuis turbant. Hujuſmodi ſunt qui Novum eligunt, Vetus reprobant Teſtamentum; & qui ex veteribus Scripturis, alias à diviniore & ſupremâ potentiâ eſſe dicunt, alias ab imbecilliore. Proprias autem oves pronunciat paſtor eos, qui non contemnunt, quæ illorum pedibus proculcata ſunt, neque deſpiciunt aquam rejicularum ovium, hircorum & hœdorum pedibus perturbatam. Noluerunt enim eſſe pecudes arietum dignæ dextris. Nos igitur qui optamus eſſe oves paſtoris,

Τί οὖν ἐστιν ὃ καὶ ἐν τούτοις αἰνίττεται, φέρε κατὰ δύναμιν ἐξετάσωμεν· πᾶσα μὲν οἶμαι καλὴ νομὴ, καὶ πᾶν τὸ καθεστηκὸς ὕδωρ, τὰ ὅλα λόγια ἐστὶ τῶν ἱερῶν γραμμάτων. εἶτ᾽ ἐπεί τινες τὰ μὲν τῶν γεγραμμένων ἐκκρίνουσιν ὡς C ὠφέλιμα, τινὰ δὲ ἀποδοκιμάζουσιν ὡς οὐ σωτήρια, οὗτοι ἂν εἶεν οἱ μετὰ τὸ νενεμῆσθαι τὴν καλὴν ἣν ἐξελέξαντο νομὴν, καὶ πεπωκέναι τὸ καθεστηκὸς οὗ ἐκεῖνοι ᾤοντο εἶναι βελτίονος ὕδατος, τὸ λοιπὸν τῆς νομῆς καταπατοῦντες, καὶ τὸ λοιπὸν ὕδωρ τοῖς ποσὶν ἑαυτῶν ταράσσοντες· τοιοῦτοι δή εἰσιν οἵ τε τὴν μὲν καινὴν ἐκκρίνοντες, τὴν δὲ παλαιὰν ἀποδοκιμάζοντες διαθήκην, καὶ οἱ τῶν παλαιῶν γραμμάτων, τὰ μὲν ἀπὸ θειοτέρας λέγοντες εἶναι δυνάμεως καὶ τῆς ἀνωτάτω, τὰ δὲ ἀπὸ ὑποδεεστέρας. D πρόβατα δὲ ἴδια ἀναγορεύει ὁ ποιμὴν, τοὺς μὴ ὑπερηφανοῦντας τὰ πατήματα τῶν ποδῶν ἐκείνων, καὶ μὴ ἐξουθενοῦντας τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν τῶν λεκτῶν προβάτων, τράγων καὶ ἐρίφων· οὐ γὰρ ἠθέλησαν εἶναι πρόβατα κριῶν ἄξια τῶν δεξιῶν· ἡμεῖς οὖν εὐχόμενοι εἶναι πρόβατα τοῦ ποιμένος, μηδέποτε φεύγωμεν νεμηθῆναι

μηθεῖσαι, καὶ τὰ αὐτόθεν ὅσον ἐπὶ τῷ ῥητῷ ἀπεμφαίνοντα τῆς γραφῆς, καὶ διὰ τὴν ἀπέμφασιν τῆς λέξεως πατούμενα ὑπὸ τῶν μὴ δυναμένων μηδὲ θελόντων χρῆσθαι πάσῃ τῇ νομῇ· ἀλλὰ κἂν ᾖ τι ὕδωρ ὑπὸ τῶν ποδῶν ἐκείνων τεταραγμένον, ἀναμιξάντων τῷ καθαρῷ λόγῳ τῆς γραφῆς δυσφήμους ἐπαπορήσεις, μὴ ἀποτρεπώμεθα δι᾽ ἣν πεποιήκασι τῷ λόγῳ ταραχὴν πίνειν καὶ τὸ ὑπὸ τῶν ποδῶν αὐτῶν τεταραγμένον· καὶ τήρει γε ἐπιμελῶς ὅτι πρὸς τοὺς ταράξαντας τὸ ὕδωρ καὶ πατήσαντας τὴν νομὴν λέγεται ὡς περὶ κρειττόνων· καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον· ἀλλὰ καὶ μηδέποτε νομὴν προφητικὴν ἡμεῖς πατήσωμεν, μηδὲ ὕδωρ νομικὸν ταράξωμεν· ἁμαρτανόντων δέ τινων καὶ περὶ τὴν εὐαγγελικὴν νομήν, καὶ τὸ ἀποστολικὸν ὕδωρ, ὥστε τῶν εὐαγγελικῶν τινὰ μὲν πατεῖν, τινὰ δὲ ὡς καλὴν νέμεσθαι νομήν, καὶ τῶν ἀποστολικῶν ἢ πάντα ἀποκρίνειν, ἢ τινὰ μὲν ἐγκρίνειν, τινὰ δὲ ἀποκρίνειν· ἡμεῖς καὶ τὰ ὅλα εὐαγγέλια νεμηθῶμεν, καὶ μηδὲν αὐτῶν πατήσωμεν, καὶ πάντα τὰ ἀποστολικὰ πίνοντες, τὸ ὅσον ἐφ᾽ ἡμῖν καθεστηκὸς ὕδωρ, αὐτὰ τηρήσωμεν, καὶ μηδὲν τῶν ἐν αὐτοῖς ἀπιστίᾳ ταρασσούσῃ τοὺς οὐκ εἰδότας συνιέναι τῶν λεγομένων ταράξωμεν.

A numquam non paſci velimus, ijs etiam quæ verbo tenus in Scripturis diſſonant, & propter locutionis diſcrepantiam proculcantur ab ijs qui nec volunt nec poſſunt tota paſtione vti. Sed etſi ſit aliquid aquæ pedibus illorum conturbatum, qui horrendas dubitationes puriſſimo ſermoni Scripturæ immiſcuerunt, ne avertamur, propter eas quas divinis verbis invexere turbas, à bibendo id etiam quod eorum pedibus turbatum eſt. Et obſerva diligenter, vt ad eos qui aquam turbaverunt & B paſtionem conculcarunt, de melioribus dicitur: *Et oves meæ proculcata pedibus veſtris depaſcebantur, & aquam pedibus veſtris turbatam bibebant.* Sed neque vnquam paſtionem propheticam conculcemus nos, neque aquam legitimam turbemus; cum vero peccent aliqui in Evangelicam paſtionem, vt ex Evangelicis quædam proculcent, aliqua vt bonam herbam depaſcantur: & ex Apoſtolicis vel omnia ejiciant, vel quædam ſeligant, aliqua vero abjiciant: nos Evangelia omnia depaſcamur, & nihil ex ipſis conculcemus, & omnia Apoſtolica C bibentes, quantum poſſumus, aquam nobis appoſitam, hæc cuſtodiamus, & nihil eorum, quæ in ijs continentur, infidelitate perturbante eos qui dicta percipere neſciunt, conturbemus.

ΕΚ ΤΩΝ ΕΙΣ ΤΟΝ ΩΣΗΕ ΕΞΗΓΗΤΙΚΩΝ.	E COMMENTARIIS IN OSEE.

Eodem interprete.

Ἐπειδὴ τὰ σολοικοειδῶς εἰρημένα κατὰ τὴν ἐγγραφὴν ὅσα κατὰ τὴν λέξιν συγχέει τὸν ἐντυγχάνοντα, ὡς ὑπονοεῖν οὐκ ὀρθῶς, οὐδὲ ἀκολούθως, οὐδὲ ὡς ἔχει γεγράφθαι τὰ ῥητά, ὡς καὶ τολμᾶν τινας προφάσει διορθώσεως ἀλλοιοῦν, μετατιθέντας τὸ ἐγκείμενον περὶ τὸ δοκοῦντα ἀκολούθως γεγράφθαι ῥητὰ νοεῖν, ἀναγκαίως καὶ ἐνθάδε τοῖς ὁμοίοις ἐμπεσόντες, ὅσον κατὰ τὴν λέξιν περὶ τὰ προκείμενα ῥητά, εἰδῶμεν τὸν ἐν αὐτοῖς ἐγκείμενον νοῦν. πληθυντικῶς γὰρ εἰπών· ἔκλαυσάν με καὶ ἐδεήθησάν μου· καὶ πάλιν πληθυντικῶς τὸ ἑξῆς δηλώσας· ἐν τῷ οἴκῳ ὢν εὗρόν με, τὸ ἑξῆς ἐπὶ ἑνικοῦ ἐπιφέρει λέγων· καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτόν. τῇ γὰρ λέξει ψιλῇ τις ἐπιδὼν κατὰ πλάνην δόξει γεγράφθαι, ἢ καὶ τὸ τελευταῖον πληθυντικῶς γράψει, ἢ τὰ προάγοντα εἰς ἑνικὸν μεταθεῖναι. ἀναγνοὺς γάρ· ἔκλαυσάν με καὶ ἐδεήθησάν μου· καί· ἐν τῷ οἴκῳ ὢν εὗρόν με, εἴποι ἂν ὅτι καὶ τὸ ἑξῆς οὕτως ἐστίν· ἐκεῖ ἐλαλήθη πρὸς αὐ-

Qvoniam quæ in Scripturis ſolœciſmi formam habent, dictione ipſa legentem confundunt, vt ſuſpicetur non rectè neque vt ſe habent, ita ſcriptas eſſe divinas D literas: vt & audeant aliqui eas, emendationis prætextu, immutare, & circumpoſitam ijs quæ conſecutionem habere videntur verbis intelligentiam tranſponere. Vnde cùm hîc tale quidpiam neceſſario inciderit, quantum è locutione in propoſitis verbis conjicere licet, latentem in ipſis ſententiam videamus. Cùm enim numero multitudinis dixerit: *Luxerunt & oraverunt me*, & rurſum eodem numero quæ ſequuntur expoſuerit: *Domi cùm eſſem, invenerunt me*, reliqua in numero vnitatis effert, dicens: *Et* E *ibi locutus eſt ad ipſum.* Nudam dictionem ſi quis intuebitur, per errorem ſcriptum exiſtimans, poſterius etiam numero multitu-

Oſee 12. 4.

dinis ſcribet, aut ſuperiora ad ſingularem
rediget. Qui enim legerit: *Fleverunt & oraverunt me*; Et: *Domi cùm eſſem invenerunt me*: affirmabit ita legenda quæ ſequuntur: *Ibi locutus eſt ad ipſos*: hoc eſt, qui fleverunt, & oraverunt, & domi Deum invenerunt. Atque ex obſervatione ſimilium verborum etiam illa cohærenter dicta oſtendemus. In Geneſi Deus Adamo præceptum
Gen.2,16,17 dans ait: *De omni ligno quod in paradiſo eſt comede: de ligno autem cognitionis boni & mali, non comedetis ex ipſo: quâ autem die comederitis ex ipſo, morte moriemini.* Cùm enim ibi quoque à ſingulari cœpiſſet, *de omni arbore, quæ in paradiſo eſt, comedes*, ſubjungit numero plurativo, dicens: *De ligno autem cognoſcendi bonum & malum, ne comedite ex ipſo: quacumque autem die comederitis ex ipſo, morte moriemini.* Cùm enim præceptum, quo vult illum vivere, quamdiu hoc obſervaverit, numero vnitatis dat, & ait: *De omni ligno, quod in paradiſo eſt, comedes.* Qui enim ſecundum Deum ambulant, & mandata ejus amplectuntur, etſi multi ſint, quòd tamen concordes ſunt, & vnius ſenſus, multi vnum ſunt. Propterea cùm de bono præceptum datur, ſingulari numero, *comedes*: cùm verò de transgreſſione præceptum dividitur, non jam ſingulari, ſed plurali numero: *Non comedetis ex ipſo*; *quâ verò die comederitis ex ipſo, morte moriemini.* Sic igitur illi cùm flent & orant apud Deum, numero plurali dicitur: *Fleverunt & precati ſunt*: cùm verò Deum inveniunt, non jam plurativè dicitur: *Ibi locutus eſt ad ipſos*, ſed, *ad ipſum.* Iam enim vnum facti ſunt multi, quòd invenerint Deum, & audiant ſermonem ejus. Vnus enim cùm peccat, multiplex eſt, à Deo abſciſſus, & in partes diviſus, & ab vnitate decidens. Multi autem, qui Dei mandata ſequuntur, vnus ſunt, quemad-
1.Cor.10.17 modum & Apoſtolus teſtatur, dicens: *Quia vnus panis, & vnum corpus multi ſumus*, &
Eph.4.5,6 deinde: *vnus Deus, vnus Chriſtus, vna fides,*
Rom. 12. 5. *vnum baptiſma*, & alibi: *Quia omnes vnum*
2.Cor. 11.2. *ſumus in Chriſto Ieſu*, & denuo: *Deſpondi enim vos omnes vni viro, virginem caſtam exhibere Chriſto.* Et quidem eos qui placent domino, vnum eſſe ex precatione, quâ Servator ad patrem pro Apoſtolis contendit, id manife-
Ioã 17.11,21 ſtum eſt. *Pater ſancte*, ait, *da quemadmodum ego & tu vnum ſumus, ſic & hi in nobis vnum ſint.* Cùm verò & membra inter ſe eſſe ſancti dicantur, quid aliud niſi vnum ſunt corpus? Et in libro qui Paſtor inſcribitur, ædificationem turris ex multis factam lapidibus, ex vno verò lapide factum videri ædificium, quid aliud quàm è multis concentum & vnitatem, ſcriptum id ſignificat?

A τούς, τουτέστι τοὺς κλαύσαντας καὶ δεηθέντας, καὶ ἐν τῷ οἴκῳ ὢν, εὑρόντας τὸν θεόν· ἐκ παρατηρήσεως δὲ ὁμοίων ῥητῶν, καὶ τοῦτο ἀκολούθως εἰρῆσθαι δείξομεν. ἐν τῇ γενέσει ὁ θεὸς τῷ ἀδὰμ ἐντολὴν διδοὺς οὕτω φησίν· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ἀρξάμενος γὰρ κἀκεῖ ἀπὸ ἑνικοῦ ἐν τῷ εἰρηκέναι· ἀπὸ
B παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἐπιφέρει πληθυντικῶς εἰπών· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ὅτε γὰρ περὶ τῆς ἐντολῆς δι' ἧς αὐτὸν ἐν ζωῇ ταύτην τηροῦντα ἠθέλησεν εἶναι, ἑνικῶς ἐντέλλεται, καί φησιν· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· οἱ γὰρ κατὰ θεὸν περιπατοῦντες, καὶ τῶν ἐντολῶν αὐτοῦ ἀντεχόμενοι, κἂν πολλοὶ ὦσι, τῷ
C ὁμόφρονες εἶναι οἱ πολλοὶ ἕν εἰσι· διὰ τοῦτο ὅτε περὶ ἀγαθοῦ ἐντολὴ δίδοται ἑνικῶς αὐτὸ λέγεται τό· βρώσει φαγῇ· ὅτε δὲ ἤδη περὶ παραβάσεως διαστέλλεται, οὐχ ἑνικῶς ἀλλ' ἤδη πληθυντικῶς φησιν· οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε· οὕτως οὖν καὶ ἐνταῦθα, ὅτε ἔτι κλαίουσι καὶ δέονται πρὸς θεόν, πληθυντικῶς λέγεται τό· ἔκλαυσάν με καὶ ἐδεήθησάν μου· ὅτε δὲ εὑρίσκουσι τὸν θεόν, οὐκέτι πληθυντικῶς φησι τό· ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς, ἀλλά, πρὸς αὐτόν. ἤδη γὰρ ἓν γεγόνασιν
D οἱ πολλοὶ ἐν τῷ εὑρηκέναι τὸν θεόν, καὶ ἐν τῷ ἀκούειν λόγων αὐτοῦ· ὁ γὰρ εἷς ὅτε ἁμαρτάνει, πολλοστός ἐστιν ἀποσχιζόμενος ἀπὸ θεοῦ, καὶ μεριζόμενος, καὶ τῆς ἑνότητος ἐκπίπτων· οἱ δὲ πολλοὶ ταῖς ἐντολαῖς ἑπόμενοι ταῖς τοῦ θεοῦ, εἷς εἰσι. καθὼς καὶ ὁ ἀπόστολος μαρτυρεῖ εἰπών· ὅτι εἷς ἄρτος καὶ ἓν σῶμα οἱ πολλοί ἐσμεν. καὶ πάλιν· εἷς θεός, καὶ εἷς χριστός, καὶ μία πίστις, καὶ ἓν βάπτισμα. καὶ ἀλλαχοῦ· ὅτι πάντες ἓν ἐσμὲν ἐν χριστῷ ἰησοῦ. καὶ αὖθις· ἡρμο-
E σάμην γὰρ ὑμᾶς τοὺς πάντας ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ κυρίῳ. καὶ ὅτι οἱ εὐαρεστοῦντες τῷ κυρίῳ ἕν εἰσιν, ἀπὸ τῆς προσευχῆς ἧς ὁ σωτὴρ εὔχεται πρὸς τὸν πατέρα περὶ τῶν μαθητῶν αὐτοῦ ἔστιν ἰδεῖν. πάτερ γάρ, φησίν, ἅγιε, δὸς ἵνα καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν. ὅταν δὲ καὶ μέλη ἀλλήλων λέγωνται εἶναι οἱ ἅγιοι, τί ἄλλο εἰ μὴ ἓν σῶμά εἰσι; καὶ ἐν τῷ ποιμένι δὲ τὴν οἰκοδομὴν τοῦ πύργου διὰ πολλῶν μὲν λίθων οἰκοδομουμένην, ἐξ ἑνὸς δὲ λίθου φαινομένην εἶναι τὴν οἰκοδομήν, τί ἄλλο ἢ τὴν ἐκ πολλῶν συμφωνίαν καὶ ἑνότητα σημαίνει ἡ γραφή;